eul_wid: khi-aa

*Νικίας ὁ Μιλήσιος* · Nicias of Miletus

# Epigrams

## *Ἐπιγράμματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ λογοτεχνική* Literary Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 122.1.1 Μαινὰς Ἐνυαλίου, πολεμαδόκε, θοῦρι κράνεια,
book 122.1.2 τίς νύ σε θῆκε θεᾷ δῶρον ἐγερσιμάχᾳ; —
book 122.1.3 „Μήνιος· ἦ γὰρ τοῦ παλάμας ἄπο ῥίμφα θοροῦσα
book 122 ἐν προμάχοις Ὀδρύσας δήιον ἂμ πεδίον.“
book 127.1.1 Μέλλον ἄρα στυγερὰν κἀγώ ποτε δῆριν Ἄρηι
book 127.1.2 ἐκπρολιποῦσα χορῶν παρθενίων ἀίειν
book 127.1.3 Ἀρτέμιδος περὶ ναόν, Ἐπίξενος ἔνθα μ’ ἔθηκεν,
book 127.1.4 λευκὸν ἐπεὶ κείνου γῆρας ἔτειρε μέλη.
book 270.1.1 Ἀμφαρέτας κρήδεμνα καὶ ὑδατόεσσα καλύπτρα,
book 270.1.2 Εἰλήθυια, τεᾶς κεῖται ὑπὲρ κεφαλᾶς,
book 270.1.3 ὧς σε μετ’ εὐχωλαῖς ἐκαλέσσατο λευγαλέας οἱ
book 270.1.4 κῆρας ἀπ’ ὠδίνων τῆλε βαλεῖν λοχίων.
book 200.1.1 Οὐκέτι δὴ τανύφυλλον ὑπὸ πλάκα κλωνὸς ἑλιχθεὶς
book 200.1.2 τέρψομ’ ἀπὸ ῥαδινῶν φθόγγον ἱεὶς πτερύγων·
book 200.1.3 χεῖρα γὰρ εἰς ἀρεὰν παιδὸς πέσον, ὅς με λαθραίως
book 200.1.4 μάρψεν ἐπὶ χλωρῶν ἑζόμενον πετάλων.
book 315.1.1 Ἵζευ ὑπ’ αἰγείροισιν, ἐπεὶ κάμες, ἐνθάδ’, ὁδῖτα,
book 315.1.2 καὶ πῖθ’ ἆσσον ἰὼν πίδακος ἁμετέρας·
book 315.1.3 μνᾶσαι δὲ κράναν καὶ ἀπόπροθι, ἃν ἐπὶ Γίλλῳ
book 315 Σῖμος ἀποφθιμένῳ παιδὶ παριδρύεται.
book 564.1.1 Αἰόλον ἱμεροθαλὲς ἔαρ φαίνουσα, μέλισσα
book 564.1.2 ξουθά, ἐφ’ ὡραίοις ἄνθεσι μαινομένα,
book 564.1.3 χῶρον ἐφ’ ἡδύπνοον πωτωμένα, ἔργα τίθευ σύ,
book 564.1.4 ὄφρα τεὸς πλήθῃ κηροπαγὴς θάλαμος.
book 188.1.1 Εἰνοσίφυλλον ὄρος Κυλλήνιον αἰπὺ λελοιπὼς

book 188.1.2 τῇδ’ ἕστηκ’ ἐρατοῦ γυμνασίου μεδέων
book 188.1.3 Ἑρμῆς· ᾧ ἔπι παῖδες ἀμάρακον ἠδ’ ὑάκινθον
book 188 πολλάκι καὶ θαλεροὺς θῆκαν ἴων στεφάνους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org